Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information

# I.

## Diplomatarium monasterii Beatae Virginis in monte Lembo prope Smyrnam e codice vindobonensi.

### I. 6736—1228, mense augusto, ind. I.

*Aurea bulla imperatoris Ioannis Ducae Vatatzae de monasterio restaurando.*

Οἱ οὐρανοί φησ . . . . . . . . . . . . . . . . .
γλώσσῃ μὴ . . . . . . . . . . . . . . . . .
τὸν νοερὸν . . . . . . . . . . . . . . . . .
εὔμουσόν τε . . . . . . . . . . . . . . . . .
ὀφειλὴν εὐχαρ . . . . . . . . . . . . . . . .
εὐεργέτην ἂν . . . . . . . . . . . . . . . . .
ἀποκεκρυμ . . . . . . . . . . . . . . . . .
κόρον αὐτῷ ἡ . . . . . . . . . . . . . . . .
σατο· ἄρα φω . . . . . . . . . . . . . . . .
γήσει καὶ ἐν μο . . . λώσσῃ κ . . . . . . . . .
ποικίλην οὕτω θεοῦ σοφίαν ἀν . . . . . . . . . . . σει ἢ καὶ μηχανήσεται πολύφωνον ἁρμονίαν ἐν μουσικοῖς τελεωτάτῳ συστήματι καὶ τῇ διὰ πασῶν συμφωνίᾳ δοξολογήσει τὸν εὐεργέτην· ἂν δὲ καὶ εἰς τὴν βασιλείαν τῆς αὐτοκρατορίας περιωπὴν ἐπῆρται, τὸ βάρος τῆς ὀφειλῆς ὑπερταλαντεύει πᾶσαν κίνησιν καὶ δύναμιν νοῦ καὶ σοφίαν γλώττης καὶ εὐπορίαν. καὶ οὕτως ὑπὲρ ἅπαντας καὶ οἱ βασιλεῖς τὴν δυνατὴν ἀμοιβὴν ὀφείλουσι τῷ Θεῷ. ὃ καὶ ὁ θεῖος χρησμῳδὸς Δαυῒδ ἐν πνεύματι παρυπέφηνεν . . . . . . . .
. . . . . . . . . . . . . . . . . . κύριε, λέγων
. . . . . . . . . . . . . . . . . . καὶ ᾀσάτωσαν

*) Initio quaedam desiderantur margine primi folii avulso.



© in this web service Cambridge University Press www.cambridge.org

Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



. . . . . . . . . . . . . . . . καὶ δι' ἑαυτῶν
. . . . . . . . . . . . . . . οὖντες ἐφ' ἑαυτῶν
. . . . . . . . . . . . . . . ἐκεχειρίαν
. . . . . . . . . . . . . . . μονὰς ἰδίας
. . . . . . . . . . . . . . . ον τοῖς μοναχοῖς περὶ
. . . . . . . . . . . . . . . καὶ τὰς ἐκείνων
. . . . . . . . . . . . . . . δὰς ὡς ἐκ μηχανῆς
. . . . . . . . ασι . . . . . . . . καὶ πολύφωνον

καὶ . . . αν τὴν ἁρμονίαν καὶ τῆς βασιλικῆς μεγαλειότητος ἀποτελέσαιεν ὡς ἐπάξιον, καὶ τοὺς ἀσκητὰς ἀνθ' ἑαυτῶν ἁγίους παραστήσαιεν ὑμνητάς, λυθέντες δὲ καὶ τοῦ σώματος, ὅπερ παθεῖν ἀνάγκη τὴν σύνθεσιν, δοξολογήσαιεν ἐν τούτοις ἀθάνατα, καὶ οὕτω δοξολογοῦντες παρασκευάσαιεν καὶ τὸν μεγαλόδωρον πᾶσαν μεγαλοδωρίας ὑπερβαίνειν ὑπερβολὴν ἐν τῷ καιρῷ τῶν ἑκάστῳ προσοφειλομένων διανεμήσεων· εἰ γοῦν οὕτω ταῦτα, πῶς καὶ ἡ βασιλεία μου ἐπὶ τῇ ἐκ καινῆς ἀνεγειρομένῃ παρ' αὐτῆς μονῇ τῇ κατὰ τὸ ὄρος τὰ Λένβου διακειμένῃ καὶ τὴν τοῦ τόπου ἐπωνυμίαν ἐξιδιωσαμένῃ οὐ φροντίσει τὰ εἰς ἀπαρτισμὸν καὶ σύστασιν ταύτης; ἦν μὲν γὰρ ὁ τόπος ἠρεμίας χωρίον εἰς ἑαυτὸ τὸν σπουδαῖον καὶ φιλήσυχον ἐκκαλούμενον, καὶ ὡς ἔκ τινων συμβόλων ἐναργῶς ἐδείκνυτο, καὶ τὸ θεῖον ἐκεῖσε διὰ ψαλμῳδίας μοναχῶν ἐδοξολογεῖτο, ἕδραν ἑαυτῶν ποιησαμένων τὸν ἐλεύθερον ἀέρα καὶ τὸν ἀπολίτευτον καὶ ἀτριβῆ τοῖς πολλοῖς χῶρον· καὶ ἀμυδρῶς ἐν τούτῳ καὶ ἴχνη τῆς ἀρχαίας εὐδαιμονίας ἦσαν ἐντετηγμένα· ἀνοικοδομὴ ναοῦ πρὸς εὐτεχνίαν ἐξησκημένη, ὑπὸ δὲ τοῦ χρόνου τὴν εὐπρέπειαν ἀποχρειωμένη καὶ τἄλλα δὲ εἰς τοσοῦτον ἀφαντωθέντα ὡς μηδὲ ἐν μέρεσι τῶν ἐκεῖσέ ποτε οἰκοδομῶν αὐτοῦ ἐγκαταλείμματα περισώζεσθαι. ἀλλ' ἡ βασιλεία μου ἀγαπήσασα τὸν τόπον ὡς ἀρετῆς σύμμαχον καὶ μοναχοῖς ἐπιτήδειον καὶ προσφορώτατον ἐνδιαίτημα, ἠθέλησεν ἀνακαινίσαι τε τὸν ναὸν καὶ κελλία ἀξιολόγου μοναζόντων συστήματος ἀνεγεῖραι καὶ τράπεζαν τῆς ἐν Χριστῷ τῶν μοναχῶν φιλότητος ἀνοικοδομῆσαι καὶ τἄλλα ποιῆσαι, ὅσα πρὸς ὑπηρεσίαν ἀνελλιπῆ τῶν μοναχῶν συντελεῖ. καὶ ἀπετελέσθησαν ἀπὸ τούτων τινὰ μέχρι δεῦρο παρὰ τῆς βασιλείας μου, προσεκυρώθη δὲ αὐτῇ καὶ τὸ προάστειον ἡ Βάρη ἤτοι τὰ Μῆλα σὺν τοῖς ἐν αὐτῷ προσκαθημένοις καὶ τοῖς ἀπὸ τούτων ἐκεῖθεν με-

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



ταπεσοῦσι καὶ ἐν τῇ Σμύρνῃ προσκαθίσασι τρισὶν αυταδέλφοις τοῖς παισὶ τῆς Μηλοῦς, ὥστε εἰς δουλείαν αὐτῶν καὶ συγκρότησιν ἔχειν τοὺς μοναχοὺς τοὺς ἐν τῷ τοιούτῳ προαστείῳ προσκαθημένους καὶ τοὺς ἐν τῇ Σμύρνῃ ὡς εἴρηται προσκαθημένους τρεῖς αὐταδέλφους, ἐφ᾽ αἷς δουλείαις τῆς μονῆς τὴν τούτων ἔχουσι χρῆσιν καὶ τὴν ἐξ αὐτῶν εἴσοδον ἀποφέρεσθαι. ἔστι δὲ ἐν τοῖς δικαίοις τῆς τοῦ τοιούτου προαστείου περιοχῆς εὐκτήριον ὁ ἅγιος Γεώργιος, ὃ καὶ εἰς μετόχιον ανῳκοδομήθη παρὰ τῶν μοναχῶν· ἐπεκτήσατο δὲ ἡ μονὴ καὶ ἕτερον μετόχιον ἐν τῇ Σμύρνῃ, τὸν ἅγιον Γεώργιον τὸν Ἐξωκαστρίτην. ὡσαύτως καὶ τὸ ἐν τῇ Λαγκάδι τοῦ κατὰ τὴν Σμύρνην θαλαττιαίου κόλπου τόπιον, ὅπερ ἀχρήσιμον ἔκειτο μέχρι τοῦ νῦν, ὅπερ ἄρχεται ἀπὸ τοῦ αὐλακίου τοῦ ἐπιλεγομένου τοῦ Ἀσάνη καὶ ἀπέρχεται μέχρι καὶ τῆς λάμπης τοῦ Κουρίκη, ἀπετέλεσαν οἱ μοναχοὶ τῆς αὐτῆς μονῆς διὰ κόπων καὶ ἐξόδων οὐκ ὀλίγων εἰς βιβάριον, ἀνεκαίνισαν δὲ καὶ εἰς τὸ τόπιον τὸ ἐπιλεγόμενον τὸ χωράφιον τῶν Ἀββάδων δύο ὑδρομυλικὰ ἐργαστήρια καὶ ἐν τῇ τοποθεσίᾳ τοῦ Καντζουριῶνος ἐλαϊκά τινα δένδρα. καὶ ἐπεὶ καὶ χρυσοβούλλου λόγου τῆς βασιλείας μου ἐδεήθησαν εἰς βεβαίαν τὴν κατοχὴν καὶ δεσποτείαν τῶν τοιούτων, τὴν δέησιν αὐτῶν προσηκαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον λόγον αὐτῆς ἐπεβράβευσε, δι᾽ οὗ καὶ διορίζεται ἀπαρασπάστως καὶ ἀμετακινήτως καὶ κατὰ λόγον δεσποτείας κατέχειν τὴν μονὴν πάντα τὰ ανωτέρω δεδηλωμένα, ἤγουν τὸ προάστειον τὴν Βάρην μετὰ πάσης τῆς περιοχῆς αὐτοῦ καὶ διακρατήσεως καὶ τῶν ὅλων τούτου δικαίων καὶ προνομίων, τῶν ἐν αὐτῷ προσκαθημένων παροίκων, ὑπούργου καὶ νομαδιαίας γῆς, καὶ πάντων τῶν ἀπὸ συνηθείας ἀνέκαθεν ἀπονενεμημένων τούτου τοῦ ἐν αὐτῷ μετοχίου τοῦ ἁγίου Γεωργίου. ὡσαύτως δεσποτικὸν δίκαιον ἔχειν τὴν αὐτὴν μονὴν ἡ βασιλεία μου παρακελεύεται ἐπὶ τῷ ἐπικτηθέντι παρ᾽ αὐτῆς μετοχίῳ κατὰ Σμύρνην, τῷ ἐπονομαζομένῳ ὁ ἅγιος Γεώργιος ὁ Ἐξωκαστρίτης ἐπὶ τῷ ἀνωτέρω ῥητῶς ἀναγραφέντι βιβαρίῳ, ἐπὶ τοῖς δύο ὑδρομυλικοῖς ἐργαστηρίοις, ἐπὶ τοῖς ἐν τῷ Καντζουριῶνι ἐλαϊκοῖς δένδροις καὶ ἐφ᾽ ἅπασι τοῖς ἐπικτηθεῖσιν ἢ καὶ ἐπικτηθησομένοις παρὰ τῆς αὐτῆς μονῆς. καὶ ἐξκουσσεύειν ἡ βασιλεία μου εὐδοκεῖ διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς τὸ τοιοῦτον προάστειον καὶ τοὺς ἐν αὐτῷ προσκαθημένους καὶ τοὺς ἀπὸ τούτων μεταπεσόντας καὶ προσκαθι-



© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



σαντας ἐν τῇ Σμύρνῃ τρεῖς αὐταδέλφους, τοὺς παῖδας τῆς Μηλοῦς, ἀπὸ πάσης καὶ παντοίας ἐπηρείας, ἀγγαρείας, παραγγαρείας, ζημίας, φωμοζημίας, καστροκτισίας, κατεργοκτισίας, κοπῆς καὶ καταβιβασμοῦ οἱασδήτινος ξυλῆς, στυπαξούγγου, καννάβεως, ὑγροπίσσου, καύσεως καρβωνίων, μιτάτου καταθέσεως καὶ ἀπλήκτου, δουκικῆς καὶ κατεπανικικῆς χρείας, ἐννομίου, ἀέρος, ἐξελάσεως πλωΐμων καὶ κονταράτων, ἀπαιτήσεως συνδοσιῶν, δόσεως προβάτων, ζευγοαμαξίων ἐξελάσεως, ἄνευ μόνων τῶν τῷ δημοσίῳ ἀνηκόντων δύο κεφαλαίων τῆς ἀγάπης καὶ τῆς σιταρκίας, καὶ πάσης ἄλλης ὁποιασδήτινος ἐπηρείας, κἂν μὴ ῥητῶς αὕτη ἐξεφωνήθη ἐν τῷ παρόντι χρυσοβούλλῳ τῆς βασιλείας μου· κατὰ γὰρ τὸ καθόλου τῆς ἐξκουσσείας κεφάλαιον ἡ βασιλεία μου εὐδοκεῖ ἐξκουσσεύεσθαι πάντα τὰ τῇ τοιαύτῃ μονῇ διαφέροντα, ἀλλὰ δὴ καὶ τὸ ταύτης βιβάριον ἀπό τε βιβαροπάκτου, προσκυνητικίου, ὀψωνίου καὶ λοιπῶν ἑτέρων συνηθειῶν τῶν ἐτησίως ἀπὸ τῶν βιβαρίων ἀπαιτουμένων. διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου τῷ μέρει τῆς τοιαύτης μονῆς εἰς ἀσφάλειαν αἰωνίζουσαν, ἀπολυθεὶς κατὰ τὸν αὔγουστον μῆνα τῆς πρώτης ἰνδ. τοῦ ,ςφ΄ τριακοστοῦ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος †.

Εἶχε τὸ· Ἰωάννης, ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων, ὁ Δοῦκας δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός †.

*Primus edidit Zachariae, Ius graeco-romanum III. 568.*

## II. 6743—1235, mense martio, ind. VIII.

*Descriptio possessionum monasterii facta a stratopedarcha Michaële Phoca.*

† Ὁ καθολικὸς περίορος τῆς μονῆς ὁ καὶ παρὰ τοῦ στρατοπεδάρχου τοῦ Φωκᾶ γεγονὼς δι' ὁρισμοῦ βασιλικοῦ †.

† Ὁ πανοσιώτατος καθηγούμενος τῆς σεβασμίας αὐτοδεσπότου βασιλικῆς μονῆς τῆς ὑπεράγνου θεομήτορος τῶν Λέμβων, ἱερομόναχος κῦρις Παῦλος. θεῖον καὶ βασιλικὸν προσκυνητὸν ὁρισμὸν ἡμῖν ἐνεφά-

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge
Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



νισεν οὕτωσὶ κατὰ ῥῆμα διαλαμβάνοντα· σύγγαμβρε τῆς βασιλείας μου, στρατοπεδάρχα τῶν Θρακησίων καὶ Φιλαδελφείας, κῦρις Φωκᾶ. ἡ βασιλεία μου ἀναγκαῖον ἔχουσα ἀποκατασταθῆναι τὴν μονὴν τῶν Λέμβου εἰς πάντα τὰ προσόντα αὐτῇ κτήματα διὰ περιόρου ἐγγράφου καὶ ἀποκαταστάσεως, ὡς ἂν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ ἔχωσι πᾶσαν ἀνενοχλησίαν, διορίζεταί σοι, ὡς ἂν ἀναθεωρήσῃς τὰ προσόντα τῇ τοιαύτῃ μονῇ κτήματα, ἀμπέλια, χωράφια, δένδρα, μυλῶνας καὶ αὐτοὺς δὴ τοὺς παροίκους, ὅσα μὲν ἡ βασιλεία μου ἐδωρήσατο τῇ τοιαύτῃ μονῇ, ὅσα ὁ καθηγούμενος τῆς τοιαύτης μονῆς ἐπεκτήσατο καὶ ὅσα ἐξ ἀγορασίας καὶ ὅσα ἀπὸ προσενέξεως εὐλόγου καὶ δικαίας προσεκυρώθησαν τῇ ῥηθείσῃ μονῇ, καὶ γνωρίσῃς τὰ ἅπαντα κτήματα ταύτης καὶ ποιήσῃς κατὰ τόπον περίορον καὶ εἰσάξῃς ἐν αὐτῷ ἅπαντα τὰ διαφέροντα τῇ τοιαύτῃ μονῇ κτήματα καὶ ποιήσῃς αὐτῇ πρακτικὸν, ὡς ἂν οἱ ἐν αὐτῇ ἀσκούμενοι μοναχοὶ διάγωσιν ἀνενοχλήτως καὶ ἀπαρεμποδίστως καὶ μὴ ἔχωσιν ἀπό τινος ὄχλησιν τινὰ ἢ ἐμποδισμὸν, καὶ μετὰ ταῦτα ἀπόστειλον τὸν τοιοῦτον περίορον καὶ τὸ πρακτικὸν πρὸς τὴν βασιλείαν μου, ὡς ἂν διορίσηται καὶ γένηται τῇ τοιαύτῃ μονῇ χρυσόβουλλον τῆς βασιλείας μου. ἐπεὶ δὲ καί τινας ξένους καὶ τῷ δημοσίῳ ἀνεπιγνώστους προσεκάθισαν οἱ μοναχοὶ ἐν τοῖς ὑπ' αὐτῶν κτήμασιν εἰς συγκρότησιν καὶ δουλείαν αὐτῶν, διορίζεταί σοι ἡ βασιλεία μου, ὡς ἂν κατὰ τὸν προσόντα αὐτοῖς ὁρισμὸν ἐπὶ τούτοις παραδώσῃς τούτους πρὸς αὐτοὺς, ἵν' ἔχωσι τούτους ὡς οἰκείους καὶ δεφενδεύωσιν αὐτοὺς καὶ ἐξκουσσεύωσιν κατὰ τὸ καθόλου τῆς ἐξκουσσείας κεφάλαιον. ἐπὶ τούτῳ γὰρ ἐγεγόνει πρὸς σὲ καὶ ὁ παρὼν τῆς βασιλείας μου ὁρισμός. εἶχε τό· μηνὶ δεκεβρίῳ ἰνδ. η' δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρός.

Κατὰ γοῦν τὴν περίληψιν τοῦ τοιούτου βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ κατὰ τόπον παραγενόμενοι καὶ ἀναθεωρήσαντες πάντα τὰ προσόντα τῇ διαληφθείσῃ μονῇ κτήματα πεποιήκαμεν αὐτῇ διὰ τῆς παρούσης ἐγγράφου πράξεως περίορον καὶ πρακτικὸν, εἰσάξαντες ἐν αὐτῇ καὶ καταγραψάμενοι πάντα τὰ ὡς εἴρηται ἀναντιρρήτως διαφέροντα τῇ τοιαύτῃ μονῇ οἱαδήτινα κτήματα, ὅσα τε δηλαδὴ ἐδωρήθησαν αὐτῇ διὰ προσκυνητῶν ὁρισμῶν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ὅσα ὁ καθηγούμενος ἐπεκτήσατο καὶ

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge
Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



ὅσα ἐξ ἀγορασίας καὶ ἐκ προσενέξεως εὐλόγου καὶ δικαίας περιήλθοσαν καὶ προσεκυρώθησαν τῇ αὐτῇ μονῇ, ἃ καὶ ἔχουσιν οὕτως· ἡ αὐτὴ σεβασμία μονὴ τῶν Λέμβων, ἧς ὁ περίορος τῶν δικαίων τοῦ ὀρεινοτέρου τόπου τῶν παρακειμένων βουνῶν καὶ πλησιαζόντων τῇ τοιαύτῃ μονῇ ἔχει οὕτως· ἄρχεται ἀπὸ πλησίον τῆς κεχαλασμένης ἐκκλησίας τοῦ ἁγίου Τρύφωνος, ἔχεται τοῦ πρὸς δύσιν ἀέρος, κατέρχεται κατ' εὐθεῖαν μέχρι καὶ τοῦ πυροῦ κρημνοῦ, καὶ κρατῶν τὴν ῥάχιν ἀπέρχεται μέχρι καὶ τοῦ μονοπεύκου, εἶτα κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, περᾷ τὸ χειμερινὸν ῥυάκιν, τὸ ἐπιλεγόμενον τοῦ Βορβύθους, κατέρχεται κατ' εὐθεῖαν καὶ ἀκουμβίζει μέχρι καὶ τῆς βασιλικῆς ὁδοῦ τῆς πρὸς Σμύρνην ἀπαγούσης, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ χωρίου Μανταίας, ἀριστερὰ τὰ περιοριζόμενα, ἔχεται τοῦ αὐτοῦ ἀέρος ἐπὶ πολὺ κατ' εὐθεῖαν καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ῥύακος τοῦ ἐγχωρίως ἐπιλεγομένου Χασκαυγῆ, ἀπὸ τούτου στρέφεται πρὸς ἀνατολὰς, κρατῶν τὸν αὐτὸν ῥύακα, καὶ ἀπέρχεται εἰς τὸν βουνὸν τὸν ἐπιλεγόμενον Οὖβον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον, ἔκτοτε γαμματίζει πρὸς μεσημβρίαν, κρατῶν τὴν ἐκεῖσε παρακειμένην ῥάχιν, καὶ ἀπέρχεται μέχρι καὶ τῆς κορυφῆς τοῦ βουνοῦ, τοῦ λεγομένου τῶν Λέμβων, εἶτα στρέφεται καὶ αὖθις πρὸς ἀνατολὰς, περᾷ τὸ ἐκεῖσε ὂν χειμερινὸν ῥυάκι, καὶ ἀπέρχεται εἰς τὴν τοποθεσίαν τὴν ἐπιλεγομένην τὰ Ἄνω Χανάβρου. ἀπὸ τούτου κρατῶν τὴν ἐκεῖσε παρακειμένην ῥάχιν τοῦ βουνοῦ καὶ περᾷ εἰς τὸν πορὸν, ἔνθα ἦν μετόχιον τῆς αὐτῆς μονῆς ποτὲ, εἰς ὄνομα ἱδρυμένον τοῦ ἀρχιστρατήγου τῶν ἄνω δυνάμεων Μιχαήλ. ἀπὸ τούτου κλίνει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ καταντᾷ μέχρι τῆς ὁδοῦ τῆς ἐπιλεγομένης Σταύριον, ἔκτοτε κρατῶν τὴν ῥάχιν τὴν ἐπιλεγομένην Βαλανίδα καὶ διαιρῶν δεξιὰ μὲν τὰ δίκαια τῆς Ῥούζης, ἀριστερὰ τὰ περιοριζόμενα, κρατῶν τὸν αὐτὸν ἀέρα ἐπὶ πολὺ, καὶ ἀπέρχεται μέχρι τῆς ῥάχεως τοῦ Βρυσοπηγαδίου, κλίνει πρὸς δύσιν, καὶ ἀπέρχεται μέχρι τῆς ῥάχεως τοῦ ἀνακεφαλίσματος, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ ποτὲ χωρίου τοῦ Βρυσοπηγαδίου, ἀριστερὰ τὰ περιοριζόμενα, διαιρῶν τὰς καταρρεύσεις τῶν ὀμβριμαίων ὑδάτων ἔνθεν καὶ ἔνθεν. εἶτα στρέφεται πρὸς ἄρκτον καὶ περᾷ τὴν βασιλικὴν ὁδὸν καὶ ἀπέρχεται μέχρι καὶ πλησίον τῆς κεχαλασμένης ἐκκλησίας τοῦ ἁγίου Τρύφωνος, ἔνθα καὶ ἤρξατο. ἐντὸς δὲ τοῦ τοιούτου περιόρου εὑρέθη καὶ προά-

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE

Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



στείων τὸ ἐπιλεγόμενον τὰ Σφούρν[ου], ὅπερ ἦν ποτὲ ὑπὸ τὴν μονὴν τῶν Ῥουφινιανῶν καὶ περιῆλθε τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἐκ προσενέξεως τοῦ ἀπὸ τῆς Σμύρνης βασιλικοῦ βεστιαρίτου κυροῦ Γεωργίου τοῦ Καλοειδᾶ, ἐπικυρωθείσης τῆς τοιαύτης προσενέξεως καὶ διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. ἐπεκτήσατο δὲ ἡ τοιαύτη μονὴ τῶν Λέμβου εἰς τὸ αὐτὸ προάστειον τὰ Σφούρν[ου] ἐξ οἰκείων ἐξόδων καὶ ὑδρομυλικὰ ὁλοκαιρινὰ ἐργαστήρια καὶ περιβόλιον, χρησιμεῦον εἰς κηπώριον καὶ εἰς καταφυτεύσεις ὀπωροφόρων δένδρων· εὑρέθησαν ἐν τῷ τοιούτῳ προαστείῳ τὰ Σφούρν[ου] προσκαθήμενοι ἀμετόχως καὶ τρεῖς πάροικοι ἀπὸ τοῦ χωρίου τῶν Ποταμῶν, τελοῦντες ὑπὸ τὸν λίζιον βασιλικὸν καβαλλάριον τὸν Συργαρὴν, οἵτινες καὶ ἐπεφωνήθησαν παρ' ἡμῶν ἐγερθῆναι ἀπὸ τῶν δικαίων τῆς μονῆς καὶ ἀπελθεῖν, ἔνθα καὶ πρότερον ἐκάθηντο. εἰς τὸ χωρίον τὴν Μάνταιαν ἀντικρὺ τῶν ὁσπητίων τοῦ Θρακησ[ίου], καὶ ἄνωθεν τοῦ παρακειμένου βουνοῦ κέκτηται ἡ τοιαύτη μονὴ τῶν Λέμβου μετόχιον τὸν ἅγιον Παντελεήμονα, περιελθὸν αὐτῇ ἐκ προσενέξεως τοῦ εἰς τὸ χωρίον τὴν Μάνταιαν οἰκοῦντος Ἀλεξίου ἱερέως τοῦ Τεσσαΐτου καὶ τοῦ μοναχοῦ Μαξίμου, ἐπικυρωθείσης τῆς τοιαύτης προσενέξεως καὶ διὰ βασιλικοῦ προσκυνητοῦ ὁρισμοῦ. ἔχει οὖν τὸ τοιοῦτον μετόχιον ἐκκλησίαν θολωτὴν εἰς ὄνομα ἱδρυμένην τοῦ ἁγίου Παντελεήμονος καὶ ἔμπροσθεν τῆς αὐτῆς ἐκκλησίας πρόναον ὅμοιον, οὗ καὶ ἄνωθεν πύργος· ἑτέρα ἐκκλησία συνενωμένη τῇ τοῦ ἁγίου Παντελεήμονος ἐκκλησίᾳ εἰς ὄνομα ἱδρυμένη τῆς ὑπεραγίας θεοτόκου καὶ γύρωθεν τῶν τοιούτων δύο ἐκκλησιῶν κελλία τῶν μοναχῶν, καὶ ἔξωθεν αὐλὴ περιπεφραγμένη καὶ περιωρισμένη διὰ τείχους πλινθωτοῦ, ἔξωθεν δὲ τοῦ τοιούτου μετοχίου καὶ τῆς αὐλῆς δένδρα ὀπωροφόρα καὶ γῆ ὕπεργος ὀλιγοστὴ, τραχεινή· προσήρμοσαν δὲ τῷ τοιούτῳ μετοχίῳ τοῦ ἁγίου Παντελεήμονος ἐκ προσενέξεως τινῶν ἐποίκων τοῦ χωρίου Μανταίας καὶ δένδρα ἐλαϊκὰ καὶ χωράφια, κατεχόμενα καὶ δεσποζόμενα καὶ εἰσοδιαζόμενα ταῦτα παρὰ τοῦ μέρους τοῦ αὐτοῦ μετοχίου τοῦ ἁγίου Παντελεήμονος ἐπὶ χρόνοις ἱκανοῖς, ἃ καὶ ἔχουσιν οὕτως· εἰς τὸ χωρίον τὴν Μάνταιαν πλησίον τῶν ὁσπητίων τοῦ Θρακησ[ίου] αὐλὴ περιωρισμένη μετὰ κελλίου ἑνὸς καὶ ἐκκλησίας ἀσκεποῦς, χωράφιον σύνεγγυς τῆς τοιαύτης αὐλῆς περιωρισμένον διὰ τάφρου, ἔχον καὶ δένδρα ἐλαϊκὰ εἴκοσι ἐννέα. ἐν τῇ τοποθεσίᾳ τοῦ Παρακαλάμου ἐκ

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge
Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



προσενέξεως τοῦ Καντῆ δένδρα ἐλαϊκὰ πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ ἁγίου Κωνσταντίνου δένδρα ὅμοια δεκαοκτώ, ὧν τὰ μὲν τέσσαρα ἐκ προσενέξεως τοῦ Καπυραδί[ου], τὰ δὲ δέκα πρὸς τοῖς τέσσαρσι κατεφυτεύθησαν παρὰ τῶν μοναχῶν. ἐν τῇ τοποθεσίᾳ τῆς ἁγίας Βαρβάρας ἐκ προσενέξεως τοῦ Καλομοιραστ[οῦ] δένδρα τέσσαρα. ἐν τῇ τοποθεσίᾳ τῶν Τραχεινῶν ἐκ προσενέξεως Στεφάνου τοῦ Γεγὲ δένδρα τρία. ἐν τῷ περιβολίῳ Νικήτα τοῦ Θεοφυλάκτ[ου] ἐκ προσενέξεως αὐτοῦ δένδρα δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Χασκαυγῆς ἐκ προσενέξεως Νικολάου τοῦ Πλατανίτου δένδρα ὅμοια πέντε. ἐν τῇ τοποθεσίᾳ τῆς Γούρνης πλησίον τοῦ χωραφίου τοῦ Πλανίτου ἐκ προσενέξεως τοῦ Κουρτίκη δένδρα ὅμοια ἕνδεκα. ἐν τῇ αὐτῇ τοποθεσίᾳ ἐκ προσενέξεως τοῦ Κλαπατᾶ δένδρα ἕξ. ἐν τοῖς δικαίοις τῆς μητροπόλεως πλησίον τῆς Ῥενταχηνῆς ἐκ προσενέξεως τοῦ Πανναδίου δένδρα δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Κόγχης πλησίον τῆς βασιλικῆς ὁδοῦ ἐκ προσενέξεως τοῦ Καζάνη δένδρα ὀκτώ. ἐν τῇ τοποθεσίᾳ τῆς Ἀμυγδάλας πλησίον τῆς ὁδοῦ τῆς ἀπαγούσης εἰς τὸ χωρίον τοῦ Παναρέτου ἐκ προσενέξεως τοῦ Σταθμιστοῦ δένδρα πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ Ξηροκάμπου πλησίον τοῦ Ἀγρηνοῦ ἐκ προσενέξεως τοῦ Μοσχοϊωάννου δένδρα πέντε. κατεφυτεύθησαν ἐν τῇ αὐτῇ τοποθεσίᾳ πλησίον τῶν τοιούτων δένδρων ἕτερα δένδρα ὅμοια δεκατρία. ἐν τῇ τοποθεσίᾳ τοῦ Ποταμοῦ τοῦ Βορβόθους πλησίον τοῦ προσκαθημένου τοῦ Μονομάχου ἐκ προσενέξεως τοῦ Πεπαγωμένου δένδρα πέντε. ἐν τῇ τοποθεσίᾳ τοῦ Παναρέτου πλησίον τοῦ Παναρέτου ἐξ προσενέξεως τοῦ Γουδέλη ἐκείνου δένδρα ὀκτώ. ἐν τῇ αὐτῇ τοποθεσίᾳ ἐκ προσενέξεως τῆς μοναχῆς Ζωναρᾶς δένδρα δύο. χωράφιον τοῦ ἁγίου Ἡλίου ἰδιοπεριόριστον μοδίου ἑνὸς ἐκ προσενέξεως τοῦ Γορδάτου, ἀπὸ τοῦ στίχου ὂν τοῦ Καπήλου. ἐν τῇ τοποθεσίᾳ τῆς Λαγωνικῆς ἐκ προσενέξεως τοῦ στίχου τοῦ Μαντειανοῦ χωράφιον μοδίων θαλα[σσιαίων] τριῶν, ἐν ᾧ καὶ ἀπιδέαι τρεῖς καὶ δρύες δύο. ἐν τῇ τοποθεσίᾳ τῆς Μελάγγης χωράφιον μοδίων δώδεκα. ἐν τῇ τοποθεσίᾳ τοῦ Καντζουρινοῦ πλησίον τῶν Πωλεάδων δένδρα ἐλαϊκὰ δώδεκα καὶ ἀπιδέαι τέσσαρες, ἅτινα καὶ προσηρμόσθησαν τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἀνέκαθεν. ἐν τῇ τοποθεσίᾳ τοῦ Φοίνικος δένδρα ἐλαϊκὰ πεντήκοντα καὶ ὀκτώ, περιελθόντα τῇ αὐτῇ μονῇ ἐξ ἀγορασίας ἀπὸ τοῦ Κακαβᾶ. ἕτερον μετόχιον τῆς αὐτῆς μονῆς διακείμενον ἔξωθεν τοῦ τεί-

© in this web service Cambridge University Press www.cambridge.org

Cambridge
Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



χους τοῦ παλαιοῦ κάστρου τῆς Σμύρνης καὶ ἐπιλεγόμενον ὁ ἅγιος Γεώργιος ὁ Ἐξωκαστρίτης, περιελθὸν καὶ αὐτὸ τῇ αὐτῇ μονῇ τῶν Λέμβου ἀπὸ δωρεᾶς βασιλικῆς καταβληθέντων χάριν αὐτοῦ καὶ νομισμάτων ἀπὸ τοῦ βασιλικοῦ βεστιαρίου πρός τινα προσγενῆ τοῦ μεγάλου οἰκονόμου τοῦ Ληστοῦ. εὑρέθη ἐν τῷ τοιούτῳ μετοχίῳ ἐκκλησία δρομικὴ εἰς ὄνομα ἱδρυμένη τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου μετὰ προπύλου καὶ κελλίων τεσσάρων εἰς καταμονὴν τῶν μοναχῶν. ὄπισθεν τῆς τοιαύτης ἐκκλησίας περιβόλιον ἰδιοπεριόριστον, ἔχον συκάμινα δένδρα καὶ ἕτερα ὀπωροφόρα διάφορα. ἔμπροσθεν τῆς αὐτῆς ἐκκλησίας ἀμπέλιον, περιπεφραγμένον καὶ αὐτὸ ἰδιοπεριόριστον, ὡσεὶ μοδίων ὂν θαλασσιαίων ἕξ. ἔσωθεν τοῦ τείχους τοῦ παλαιοκάστρου χωράφιον περιελθὸν τῇ μονῇ ἐκ προσενέξεως τῆς μοναχῆς κυρᾶς . . . . . . . τῆς Ἀγγελίνης, διῆκον μέχρι καὶ τοῦ πλησιάζοντος αὐτὸ χωραφίου τοῦ Τζυκανδάλη παρακάτωθεν τοῦ αὐτοῦ χωραφίου τοῦ Τζυκανδάλη. ἕτερον χωράφιον περιελθὸν τῇ αὐτῇ μονῇ ἐξ ἀγορασίας μοδίου ἑνός. προσεκυρώθη τῇ τοιαύτῃ μονῇ τῶν Λέμβου διὰ δωρεαστικῶν προσκυνητῶν ὁρισμῶν τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως καὶ ἡ κατὰ τὸν κάμπον τοῦ Μεμανιωμένου γῆ ὑπὸ τὸ βασιλικὸν ζευγηλατεῖον τῶν Παλατίων πρώην τελοῦσα καὶ παρεδόθη αὕτη τῷ μέρει τῆς αὐτῆς μονῆς παρὰ τοῦ πανσεβάστου σεβαστοῦ καὶ προκαθημένου τῆς Σμύρνης τοῦ Ἀλωποῦ καὶ τῶν ἐκκρίτων ἐποίκων τοῦ χωρίου Κουκούλης, ἧς δὴ γῆς καὶ ὁ περίορος διαιρούμενος ἐν τρισὶ κατατομαῖς καὶ τοποθεσίαις ἔχει οὕτως· ἄρχεται ἀπὸ τῆς ὁδοῦ τῆς ἀπαγούσης εἰς τὸ Σαρακηνικὸν, ἧς πλησίον καὶ καταλύματα τοῦ προαστείου τοῦ Ἀριστηνοῦ, καὶ λάκκος, ἐν ᾗ ὁδῷ καὶ ἐπήχθη παρ' ἡμῶν στήλη διὰ κίονος ἄσπρου ἔχοντος ἐγκεκολαμμένα γράμματα καὶ δηλοῦντα· ὅρος Λέμβου. ἔχεται τοῦ πρὸς δύσιν ἀέρος καὶ ἀπέρχεται κατ' εὐθεῖαν τὸν αὐτὸν ἀέρα καὶ καταντᾷ εἰς τὸ παλαιοευκτήριον τοῦ ἁγίου Γεωργίου τὸ κεχαλασμένον μέχρι ἐδάφους, ἐν ᾧ ἵσταται καὶ πέτρα μαύρη. ἔχεται καὶ αὖθις τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον καὶ ἀπέρχεται εἰς τὸ ἕτερον κιόνι τὸ παρ' ἡμῶν ἐκεῖσε πηχθὲν, ἔχον καὶ αὐτὸ γράμματα ὅμοια, διαιρῶν μὲν δεξιὰ τὰ χωράφια τοῦ Κρατεροῦ, ἀριστερὰ τὰ περιοριζόμενα. εἶτα κλίνει πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον καὶ καταντᾷ εἰς τὴν ἑτέραν στήλην τὴν διὰ τριγώνου μαύρης πέτρας παρ' ἡμῶν πηχθεῖσαν, ἔχουσαν

© in this web service Cambridge University Press www.cambridge.org

CAMBRIDGE
Cambridge University Press
978-1-108-04453-0 - Acta et Diplomata Graeca Medii Aevi Sacra et Profana: Volume 4: Acta et Diplomata Monasteriorum et Ecclesiarum Orientis Tomus Primus
Edited by Franz Miklosich and Joseph Müller
Excerpt
More information



γράμματα ὅμοια. ἀπὸ ταύτης στρέφεται πρὸς δύσιν, ἔχεται τοῦ αὐτοῦ ἀέρος, ἐῶν δεξιὰ διόλου τὰ χωράφιά τοῦ Κρατεροῦ, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀκουμβίζει εἰς τὴν ἑτέραν στήλην τὴν μάρμαρίνην, πλατεῖαν οὖσαν καὶ ἔχουσαν γράμματα ὅμοιά. ἀπὸ ταύτης στρέφεται πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται κατ' εὐθεῖαν καὶ ἀποδιδοῖ εἰς τὸ χωράφιον τοῦ βασιλικοῦ βεστιαρίτου κυροῦ Ἰσαακίου τοῦ Λεβούνη, ἐν οἷς καὶ ἐπήχθη διὰ κιονίου μαύρου παρ' ἡμῶν ἔχοντος γράμματα ὅμοια, διαιρῶν δεξιὰ τὰ χωράφια τοῦ Μαυροράχου, ἀριστερὰ τὰ περιοριζόμενα. αὖθις στρέφεται πρὸς ἀνατολας, ἔχεται τοῦ αὐτοῦ ἀέρος πρὸς ὀλίγον, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ Λεβηύνη, ἀριστερὰ τὰ περιοριζόμενα. καὶ ἀπέρχεται εἰς τὴν ἑτέραν στήλην τὴν παρ' ἡμῶν πηχθεῖσαν διὰ κιονοκόμματος μαύρου, ἔχοντος γράμματα ὅμοια. ἀπὸ ταύτης κλίνει αὖθις πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος κατ' εὐθεῖαν καὶ ἀπέρχεται ἐπὶ πολὺ καὶ ἀκουμβίζει εἰς τὴν ἀριστερὰν στήλην τὴν παρ' ἡμῶν πηχθεῖσαν διὰ κιονίου μαύρου, ἔχοντος γράμματα ὅμοια. ἔκτοτε στρέφεται πρὸς ὀλίγον, ἐῶν δεξιὰ τὰ δίκαια τοῦ Λεβούνη, ἀριστερὰ τὰ περιοριζόμενα. καὶ αὖθις κλίνει πρὸς μεσημβρίαν, ἔχεται τοῦ αὐτοῦ ἀέρος καὶ ἀπέρχεται μέχρι καὶ τοῦ ποταμοῦ τοῦ Ἕρμωνος, διαιρῶν δεξιὰ [τὰ χωράφια] τοῦ Λεβούνη, ἀριστερὰ τὰ περιοριζόμενα, κρατεῖ τὸν αὐτὸν ἀέρα καὶ τὸ παραπόταμον ἐπὶ πολὺ καὶ καταντᾷ εἰς τὸν ἐγχωρίως ἐπιλεγόμενον Παλαιὸν Πόρον, εἰς ὃν καὶ ἐστήσαμεν στήλην διὰ ἡμίσεος κίονος ἔχοντος γράμματα ὅμοια: ἀπὸ τούτου στρέφεται πρὸς ἄρκτον, ἔχεται τοῦ αὐτοῦ ἀέρος, κρατῶν τὴν ἐκεῖσε οὖσαν ὁδὸν, ἐῶν δεξιὰ τα χωράφια τοῦ Φαγομόδη καὶ τῆς Πετριτζίνης, ἀριστερὰ τὰ περιοριζόμενα, καὶ ἀπέρχεται κατ' εὐθεῖαν ἐπὶ πολὺ εἰς τὴν ὁδὸν τὴν πλησιάζουσαν τῷ προαστείῳ τοῦ Ἀριστηνοῦ καὶ εἰς τὰ καταλύματα καὶ εἰς τὸν λάκκον ἔνθα καὶ ἤρξατο.

Ἐν τῷ αὐτῷ κάμπῳ τοῦ Μεμανιωμένου ἕτερον προάστειον τὸ ποτὲ ἐπιλεγόμενον τοῦ Ἀσάνη, οὗτινος ὁ περιορισμὸς ἔχει οὕτως· ἄρχεται ἀπὸ τοῦ ποτὲ ὄντος λάκκου καὶ τοῦ παλαιοῦ ὡρείου ὡς ἐν σχήματι τριόδου ὄντος, ἐν ᾧ καὶ παρ' ἡμῶν ἐπήχθη στήλη διὰ κίονος μαρμαρίνου ἄσπρου, ἔχοντος γράμματα ὅμοια. ἔχεται τοῦ πρὸς μεσημβρίαν ἀέρος, κρατῶν τὴν ἐκεῖσε παρακειμένην παλαιὸν ὁδὸν, τὴν ἐπιλεγομένην ἐγχωρίως τὸ Αλικοβάσταγον, ἐῶν ἀριστερὰ τὰ χω-

© in this web service Cambridge University Press www.cambridge.org